UNIVERSITY OF CAMBRIDGE INTERNATIONAL EXAMINATIONS
Cambridge International Level 3 Pre-U Certificate
Principal Subject

**CLASSICAL GREEK** **9787/03**

Paper 3 Unseen Translation **October/November 2013**

**2 hours**

Additional Materials: Answer Booklet/Paper

*1476807578*

**READ THESE INSTRUCTIONS FIRST**

If you have been given an Answer Booklet, follow the instructions on the front cover of the Booklet.
Write your Centre number, candidate number and name on all the work you hand in.
Write in dark blue or black pen.
Do not use staples, paper clips, highlighters, glue or correction fluid.

Answer **both** questions.

Write your translations on alternate lines.

At the end of the examination, fasten all your work securely together.
The number of marks is given in brackets [ ] at the end of each question or part question.

This document consists of **3** printed pages and **1** blank page.

(NL) 67185/3
© UCLES 2013

UNIVERSITY *of* CAMBRIDGE
International Examinations

**1** Translate into English. Write your translation on **alternate** lines.

*The Spartan admiral Mnasippus ravages the countryside of Corcyra and lays siege to the town.*

καὶ ὁ μὲν δὴ Μνάσιππος, ἐπεὶ συνελέγη αὐτῷ τὸ ναυτικόν, ἔπλευσεν εἰς τὴν Κέρκυραν· εἶχε δὲ καὶ μισθοφόρους[1] σὺν τοῖς ἐκ Λακεδαίμονος μετ᾽ αὐτοῦ στρατευομένοις οὐκ ἐλάττους χιλίων καὶ πεντακοσίων. ἐπεὶ δὲ ἀπέβη, ἐκράτει τε τῆς γῆς καὶ ἐδῄου[2] ἐξειργασμένην[3] μὲν παγκάλως καὶ πεφυτευμένην[4] τὴν χώραν, μεγαλοπρεπεῖς δὲ οἰκήσεις καὶ οἰνῶνας[5] κατεσκευασμένους ἐπὶ τῶν ἀγρῶν· ὥστ᾽ ἔφασαν τοὺς στρατιώτας εἰς τοῦτο τρυφῆς[6] ἐλθεῖν ὥστ᾽ οὐκ ἐθέλειν πίνειν, εἰ μὴ ἀνθοσμίας[7] εἴη. καὶ ἀνδράποδα δὲ καὶ βοσκήματα[8] πάμπολλα ἡλίσκετο ἐκ τῶν ἀγρῶν. ἔπειτα δὲ κατεστρατοπεδεύσατο τῷ μὲν πεζῷ ἐπὶ λόφῳ ἀπέχοντι τῆς πόλεως ὡς πέντε στάδια, ὅπως ἀποτέμνοιτο ἐντεῦθεν, εἴ τις ἐπὶ τὴν χώραν τῶν Κερκυραίων ἐξίοι· τὸ δὲ ναυτικὸν εἰς τἀπὶ θάτερα[9] τῆς πόλεως κατεστρατοπέδευσεν, ἔνθεν ᾤετ᾽ ἂν τὰ προσπλέοντα καὶ προαισθάνεσθαι καὶ διακωλύειν. πρὸς δὲ τούτοις καὶ ἐπὶ τῷ λιμένι, ὁπότε μὴ χειμὼν κωλύοι, ἐφώρμει[10]. ἐπολιόρκει μὲν δὴ οὕτω τὴν πόλιν. ἐπεὶ δὲ οἱ Κερκυραῖοι ἐκ μὲν τῆς γῆς οὐδὲν ἐλάμβανον διὰ τὸ κρατεῖσθαι κατὰ γην, κατὰ θάλατταν δὲ οὐδὲν εἰσήγετο αὐτοῖς διὰ τὸ ναυκρατεῖσθαι, ἐν πολλῇ ἀπορίᾳ ἦσαν.

(Xenophon, *Hellenica* 6. 2. 5–8)

| | |
|---|---|
| [1] ὁ μισθοφόρος, -ου | mercenary |
| [2] δῃόω | I lay waste, ravage |
| [3] ἐξεργάζομαι | I cultivate, I work |
| [4] φυτεύω | I plant |
| [5] ὁ οἰνών, -ῶνος | wine-cellar |
| [6] ἡ τρυφή, -ῆς | luxury |
| [7] ἀνθοσμίας, -ου | sweet-smelling, fragrant |
| [8] τό βόσκημα, -ατος | cattle |
| [9] εἰς τἀπὶ θάτερα + gen. | on the other side of |
| [10] ἐφορμέω | I lie at anchor |

[45 + 5 for style and fluency]

**[Total: 50]**

**2** **(a)** Translate into English. Write your translation on **alternate** lines.

*Polyxena assures Odysseus that she will follow him to her fate without resistance, as she would prefer to die as a sacrificial victim than to live as a slave.*

θάρσει· πέφευγας τὸν ἐμὸν Ἱκέσιον Δία[1]·
ὡς ἕψομαί γε τοῦ τ’ ἀναγκαίου χάριν[2]
θανεῖν τε χρῄζουσ’· εἰ δὲ μὴ βουλήσομαι,
κακὴ φανοῦμαι καὶ φιλόψυχος γυνή.
τί γάρ με δεῖ ζῆν; ᾗ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν[3] ἁπάντων· τοῦτό μοι πρῶτον βίου·
ἔπειτ’ ἐθρέφθην ἐλπίδων καλῶν ὕπο
βασιλεῦσι νύμφη, ζῆλον[4] οὐ σμικρὸν γάμων
ἔχουσ’, ὅτου δῶμ’ ἐστίαν τ’ ἀφίξομαι· 9
δέσποινα δ’ ἡ δύστηνος Ἰδαίαισιν[5] ἦ, 10
γυναιξὶ παρθένοις τ’ ἀπόβλεπτος[6] μέτα,
ἴση θεοῖσι πλὴν τὸ κατθανεῖν μόνον·
νῦν δ’ εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
θανεῖν ἐρᾶν τίθησιν[7] οὐκ εἰωθὸς ὄν·
ἔπειτ’ ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
τύχοιμ’ ἄν, ὅστις ἀργύρου μ’ ὠνήσεται,
τὴν Ἕκτορός τε χἀτέρων πολλῶν κάσιν[8],
προσθεὶς[9] δ’ ἀνάγκην σιτοποιὸν[10] ἐν δόμοις,
σαίρειν[11] τε δῶμα κερκίσιν[12] τ’ ἐφεστάναι
λυπρὰν ἄγουσαν ἡμέραν μ’ ἀναγκάσει.

(Euripides, *Hecuba* 345–364)

| | |
|---|---|
| [1] Ἱκέσιον Δία (acc.) | suppliant Zeus, supplication |
| [2] χάριν (+ gen.) | on account of, because of |
| [3] οἱ Φρύγες, -ῶν | the Trojans (here) |
| [4] ὁ ζῆλος, -ου | rivalry |
| [5] Ἰδαῖος, -α, -ον | of Mount Ida, i.e. Trojan |
| [6] ἀπόβλεπτος, ον | gazed upon, admired |
| [7] τίθημι | I cause (someone to do something) |
| [8] ἡ κάσις, -ιος | sister |
| [9] προστίθημι | I impose |
| [10] ἀνάγκη σιτοποιός | the task of making bread |
| [11] σαίρω | I sweep |
| [12] ἡ κερκίς, -ίδος | shuttle (of a loom) |

[45]

**(b)** Write out and scan lines 9 and 10 marking in the quantities, feet divisions and main caesurae. [5]

**[Total: 50]**

BLANK PAGE

Permission to reproduce items where third-party owned material protected by copyright is included has been sought and cleared where possible. Every reasonable effort has been made by the publisher (UCLES) to trace copyright holders, but if any items requiring clearance have unwittingly been included, the publisher will be pleased to make amends at the earliest possible opportunity.

University of Cambridge International Examinations is part of the Cambridge Assessment Group. Cambridge Assessment is the brand name of University of Cambridge Local Examinations Syndicate (UCLES), which is itself a department of the University of Cambridge.